τοὐπικρατοῦν ἄρας τις ὀρθῶς ἐκ μέσου
ὤνησε τὸν κάμνοντα θᾶσσον κὠλίγοις.
τοῦ δραστικωτάτου γὰρ ἄρδην ἐκ μέσου
ἀρθέντος, ἠμβλύνθη μὲν ἀρκούντως νόσος,
ἀπεσκορακίσθη δὲ τἄλλα ῥαδίως.

ΛΗ. Ἀεὶ τὸ δρῶν γὰρ ταυτὰ δρᾷ παρεμμένον, κ. 388
τοῦ δρᾷν δ᾽ ἔληξεν αὐτίκ᾽ ἀρθὲν ἐκ μέσου. λε. 753
ἁπλοῦν τε τὸ δρῶν· εἰ γὰρ ἦν ἐκ πλειόνων,
πλείω γ᾽ ἂν ἔδρα καὶ τάδ᾽ ἐξηλλαγμένα
νοσήματ᾽ ἐν σκήνει τε τὠυτῷ καὶ χρόνῳ·
ἕκαστον αὐτῶν τὴν ἑαυτοῦ γὰρ δρᾶσιν
ἰδίᾳ γ᾽ ἂν ἔδρα τὴν κατάλληλον σθένει·
ὃ συμβέβηκε συμπλοκῇ μόνῃ νόσων· λζ. 797
ἁπλοῦν δέ μοι νόησον οὐχ οὕτω τόδε
στοιχεῖον ὥς τι κἀμερὲς τὴν οὐσίαν,
ἀλλ᾽ οἷον ἕν τι, κοὔτι συντεθειμένον
ἐκ πλειόνων ἄλλων τε κἀλλοίων πάνυ·
αἷμ᾽ ἢ χολὴν ἢ φλέγμα κἄλλα τοιάδε·
ὅσ᾽ αἴτια δρῶντ᾽ ἐστιν· ἅσσ᾽ ἁπλᾶ κάλει
ὥσπερ καλεῖν εἴωθας ἁπλᾶ φαρμάκων.

ΛΘ. Τοιοῦτι τοίνυν ἐστὶ τὸ δρῶν ἐν νόσοις
ἁπλοῦν τε καὶ δρῶν ἔστ᾽ ἂν ἐντὸς ἐμμένῃ· λη. 803
ὃς οὖν ἀνεῖλε σύμπαν ἐκ μέσου τόδε, -- 805
ὅδ᾽ αὐτίκ᾽ ἠμαύρωσε τοῦδε τὴν δρᾶσιν· -- 804
οὗτος δ᾽ ἀναιρεῖν οἶδε τὸ δρῶν ῥαδίως
ὅστις σάφ᾽ ἔγνω τοῦτο καὶ τούτου φύσιν λζ. 790

κἀ-